## Ἀπολυτίκιον τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Μάρκου, τοῦ Εὐγενικοῦ

**Ἦχος γ'.**

Θείας πίστεως ὁμολογία, μέγαν εὕρατο ἡ Ἐκκλησία, ζηλωτήν σε θεῖε Μᾶρκε πανεύφημε, ὑπερμαχοῦντα πατρῴου φρονήματος, καὶ καθαιροῦντα τοῦ σκότους ὑψώματα. Ὅθεν ἄφεσιν Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τοῖς σὲ γεραίρουσι.

**Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον**

Πανοπλίαν ἄμαχον ἐνδεδυμένος θεόφρον, τὴν ὀφρῦν κατέσπασας, τῆς δυτικῆς ἀνταρσίας, ὄργανον τοῦ Παρακλήτου γεγενημένος, πρόμαχος ὀρθοδοξίας προβεβλημένος· διὰ τοῦτό σοι βοῶμεν· Χαίροις ὦ Μᾶρκε, ὀρθοδόξων καύχημα.

**Μεγαλυνάριον**

Τῆς Ὀρθοδοξίας ταῖς ἀστραπαῖς, λάμψας ἐν τῇ Δύσει, ἐξεθάμβησας ἐμφανῶς, Δυτικῶν τὰς ὄψεις, τοὺς ὅρους τῶν Πατέρων, ὦ Μᾶρκε ῥητορεύων, πυρίνῃ γλώττῃ σου.

